τὸν Ἴςρον, καὶ ἄγουσι καὶ φέρουσι τὴν Κουμανίαν, Ῥουμουνικὸν ἀγρὸν δηλαδὴ καὶ Μολδόβαν, κατὰ τὸν πεντηκοςὸν δεύτερον ἐνιαυτὸν τῆς δωδεκάτης ἑκατονταετηρίδος.

Ἐν δὲ τῷ ἑξηκοςῷ ἕκτῳ ἐνιαυτῷ τῆς αὐτῆς ἑκατονταετηρίδος, Μανουὴλ ὁ αὐτοκράτωρ πολεμῶν τοὺς μουγγούρους, Ἀλέξιον μὲν ᾧ τὴν θυγατέρα ἠγγύα, ἐπὶ τὸν Ἴςρον ἔπεμψε κατὰ τὸν Σάβαν, δόκησιν ποιήσοντα μουγγούροις, ὡς ἐκ τῶν συνήθων πάλιν αὐτοῖς χωρίων ἐπιτεθήσεσθαι ἔμελλεν. Λέοντα δὲ τινὰ Βατάτζην ἐπίκλησιν, ἑτέρωθεν ςράτευμα ἄλλο τε ἐπαγόμενον συχνὸν, καὶ δὴ καὶ ῥουμάνων πολὺν ὅμιλον ἐκ τῶν πρὸς τῷ εὐξείνῳ Πόντῳ χωρίων, (τῆς νῦν δηλαδὴ Μπασσαραβίας,) ἐμβαλεῖν ἐκέλευσεν ἐς τὴν Μουγγουρίαν. Ἀλέξιος μὲν οὖν δέος ὑπέτεινε μουγγούροις ὡς ἐκεῖθεν αὐτίκα περαιωθησόμενος. Βατάτζης δ' ἐμβαλὼν ἑτέρωθεν, ἔκειρέ τε πάντα, καὶ συνεπάτει τὰ παραπίπτοντα. Ἀνθρώπων τε οὖν πολὺν εἰργάσατο φόνον, καὶ ἀνδραποδισμὸν οὐκ ἐλάσσω πεποίητο· πρὸς δὲ καὶ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ζώων ἀγέλας, ἵππων τε καὶ ἄλλων παντοδαπῶν ἐκεῖθεν ἐλάσας, ἦλθε πρὸς βασιλέα. Οὐδὲ καὶ δεύτερον θέλων ἐπιθεῖναι σφίσι πληγὴν, στράτευμα πάλιν ἐπ᾿ αὐτοὺς ἔπεμψεν, ἐπιστείλας εἰς τοὺς προσοικοῦντας τὴν Γάλιτζαν Μοαγγυόροις. Ἡγοῦντο δὲ τοῦ στρατεύματος τούτου Ἀνδρόνικός τε ὁ Λαμπαρδᾶς καὶ Νικηφόρος ὁ Πετραλοίφας, ἄλλοι τε ἱκανοί, πᾶσι μέντοι ἐφίστατο Ἰωάννης ὁ Δούκας. Οἳ καὶ οὐκ ἐς μακρὰν δολιχούς τινας καὶ δυσεμβόλους διαμείψαντες χώρους, ἀνθρώπων παντάπασιν ἔρημον διελθόντες γῆν, ἐμβάλλουσί τῇ Μοαγγυορίᾳ, κώμαις τε πολυανθρωποτάταις ἐντυχόντες πολλαῖς, μέγα τι λαφύρων περιεβάλοντο χρῆμα, καὶ ἀνθρώπων πολλοὺς ἔκτειναν, πλείους δὲ καὶ ἠνδραποδίσαντο. Μέλλοντές τε ἤδη ἀπαίρειν, σταυρὸν χαλκοῦ πεποιημένον, ἐνταῦθα ἀναστήσαντες, τοιάδε τινὰ ἐπέγραψαν.

*Ἐνθάδε Παννονίης ποτὲ ἄκριτα φῦλα γενέθλης,*
*Δεινὸς Ἄρης καὶ χεὶρ ἔκτανεν αὐσονίων,*
*Ῥώμης ὁππότε κλεινὸς δίος ἄνασσε Μανουήλ,*
*Κομνηνῶν κρατόρων εὖχος ἀριστονόμων.*

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Τὸ μὲν οὖν πρῶτον στράτευμα ἀντίσπασιν ποιούμενον, ὡς καὶ τὸ δεύτερον, διὰ τῆς Μολδόβης καὶ τοῦ στενωποῦ ἴσως τοῦ Οϊτέζου τοῦ σκολιοῦ ποταμοῦ, ἢ διὰ τοῦ παρὰ τὸ Τροτὲς, ἐσέβαλεν ἐς τὸ Ἀρδὲλ, καὶ οὐ μουαγγυόροις, ἀλλὰ ῥουμάνοις ἐνέπεσον ἀθρόοις, οἳ ὡς λῃσταὶ τὸν πόλεμον ποιούμενοι· τὸ δὲ δεύτερον, τὸ διὰ τῆς Γαλίτζης, διαβὰν τὴν Μολδόβαν, στραφὲν διὰ τῶν Καρπαθίων ῥάχεων, ἐς τὴν ἐλευθέραν ῥουμανικὴν ἐπικράτειαν εἰσέβαλε τὴν ἐν τῷ Μαραμὸς, καὶ πάλιν καὶ αὐτὸ τοῖς ὁμοπίστοις καὶ ἀθρόοις ῥουμάνοις ἐπέπεσε, καὶ οὐ τοῖς μουαγγυόροις. Μετὰ τὸ πρῶτον στράτευμα ἀπέστειλεν ὁ Μανουὴλ, ὡς ἔοικε, καὶ ἕτερον στράτευμα, ὅπερ διὰ τῆς Μολδόβης καὶ τῶν βορείων αὐτῆς ἐς τὰ περὶ Βίστριτζαν εἰσέβαλε, καὶ τοὺς ῥουμάνους πάλιν κακῶς ἐποίησεν. Ἀλλὰ ταῦτα πάντα συγκέχυται, παρ' ἀγεωγράφων πάντη παραδιδόμενα, ὥσπερ καὶ πολλὰ ἕτερα· καὶ τὸ ἔρημον γῆν καὶ τὸ κώμαις πολλαῖς, ὑπερβέβληται καὶ ἀπλάστερον εἴρηται.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Οἱ δ' ἡμέτεροι ῥουμοῦνοι, οὓς καὶ αὐσονίους ἐκάλουν, ὑπήκοοι ἀνενόχλητοι καὶ ἀνεπηρέαστοι ὄντες τῶν κουμάνων, ἐν τῇ Βασσαραβίᾳ καὶ ἐν τῇ Μολδόβῃ καὶ ἐν τῷ Ῥουμουνικῷ ἀγρῷ, καὶ γεωργοῦντες καὶ ποιμαίνοντες, καὶ τὰ πλεῖστα ἐν τοῖς δρυμοῖς διαιτώμενοι, πολὺ πλείοσιν οὖσι τότε ἢ νῦν, καὶ στρατείας βεβιασμένης ἐλεύθεροι, ηὐξήθησαν ἐπὶ πολὺ, οὔτε σποράδην, καὶ οἱ συστήματα μικρὰ ἔχοντες καὶ ἴδια πολιτεύματα τὰ πλείω ἀμφισβητήσιμα. Ταῦτ' ἄρα καὶ στρατεύοντας αὐτοὺς βλέπομεν νῦν μᾶλλον ἢ πρότερον· καὶ πλείων λόγος αὐτῶν, ὑπὸ τοὺς κουμάνους μάλιστα ὄντων. Οἱ δὲ κουμάνοι, τῶν κωνσταντινουπολιτῶν, ἅπαξ καὶ δὶς καὶ τρὶς ἴσως, διαβαινόντων ἐς τὴν Κουμανίαν καὶ διὰ τῆς Κουμανίας, ἐοίκασιν, ἢ ἐς ἔω ποι ἐκστρατεύσαντες ἱκέσθαι, ἢ διὰ τὰ πολλὰ αὐτοῖς ἐπισυμβάντα ἀτυχήματα, ἔν τε τῇ ἑῴᾳ καὶ τῇ δυτικῇ Κουμανίᾳ, τοὺς ῥουμούνους ἄρξασθαι σέβεσθαι, εὐλαβέστερον φερόμενοι, καὶ αὐτοῖς συλλήπτεσθαι, περιμένοντες ἐκ τῆς ἔω, ὅπου ὁ βα-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

σιλεύς σφων ἔῤῥωτο, συναντίληψιν. Ἀλλ' ἐχέτω ταῦτα ὅπως ποτ' ἂν ἔχοιεν.

## Ρεμῦνοι Δηςαί.

Οι ῥεμῦνοι, ὃς καὶ πρότερον συςρατεύοντας εἴδομεν, νῦν μάλιςα· (ἔδει γὰρ αὐτὲς ἐκπεπαιδεῦσθαι τέλος τὴν τέχνην καὶ ἄκοντας·) τοῖς κεμάνοις σύντροφοι ὄντες, διεπεραιῦντο κοινῶς τὸν Ἴςρον ἐπὶ Ἰσαακίε Ἀγγέλε, κοινὸν σκοπέμενον ἔχοντες· καί ποτε, ἐπὶ Ἀλεξίε Ἀγγέλε, τὰ τῆς Θράκης πολίσματα ἐλεηλάτησαν, καὶ τῷ ἐφεξῆς ἐνιαυτῷ διαβάντες μετὰ κεμάνων τὸν Ἴςρον καὶ τὰ κράτιςα τῆς χώρας κείραντες, ἀσινεῖς ἐς τὰ σφέτερα ὑπέςρεψαν, καὶ τὴν τῶν ὁμοθρήσκων χώραν ἐπηρεάζειν καὶ πορθεῖν ἐκ ἔπαυον. Ἀλλὰ Ρωμανὸς ὁ τῆς Γαλίτζης ἄρχων, εἴτε προτροπῇ τῶν κωνςαντινεπολιτῶν, εἴτε ἀφ' ἑαυτῦ κινέμενος, κακεμένες μὴ φέρων ἀκέειν τὲς ὁμοπίςες· προτροπῇ γὰρ τῦ πάππα λέγειν, ἄντικρυς καὶ ἀναιδῶς ἐςὶ ψεύδεσθαι· τῶν ῥεμένων καὶ κεμάνων τὰ πέραν τῦ Ἴςρε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ληλατέντων, ἐσέβαλεν ἐς τὴν ἑῴαν καὶ μεσημβρινὴν Ρουμουνίαν, ἄγων πᾶντα καὶ φέρων, καίων, ἀποκτείνων καὶ λαφυραγωγῶν τὰ προςυχόντα, καὶ τοὺς ὁμοθρήσκους οὕτω ῥουμουνοκουμανικῆς ἀσελγείας καὶ λύσσης ἀπήλλαξεν. Επειτα δὲ ὁσάκις τοὺς ῥουμουνοκουμάνους τὰ αὐτὰ ποιοῦντας ἐπυνθάνετο, ἐπιτρέχοντας καὶ ληΐζοντας τὰ πέραν τοῦ Ιςρου, ἐπέτρεχε καὶ οὗτος, καὶ τὴν Κουμανίαν ἐπόρθει. Ουτως οὖν ῥουμάνους καὶ κουμάνους περαιοῦσθαι λῃςρικῶς τὸν Ιςρον ἐκώλυε, καὶ ταῖς ἀντισπάσεσι λυσιτελὴς μάλα τοῖς κωνςαντινουπολίταις ἐγίνετο. Οι δὲ κουμάνοι καὶ ῥουμοῦνοι τιμωρήσασθαι τὸν Ρωμανὸν ἐφιέμενοι, συμμαχοῦσιν ἑτέρῳ ῥουσσῳ κατ' αὐτοῦ. Αλλὰ γὰρ ἐκεῖνος τελέσας τὸ σκοπουμενον, κουμάνους εὐθὺς ἐγκατέλιπε, καὶ Ρωμανὸς πείσας ἑτέρους οἱ συμμαχῆσαι, τιμωρεῖται τοὺς κουμάνους καὶ τῶν πλησιοχώρων οἱ τόπων τούτους ἀφείλετο.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# Κεφάλαιον δ΄.

## ΜΟΓΓΟΥΛΟΙ.

### Τζιγγησχάν.

Οὕτω μὲν οὖν τὰ κουμάνων ἐταπεινοῦτο ταῖς συχναῖς κατὰ ῥώσσων, μοαγγούρων καὶ κωνσταντινουπολιτῶν λῃστρικαῖς ἐπιδρομαῖς, καὶ ἐκπεπόνηται μὲν ἱκανῶς, οὔπω δὲ πάντη τεταπείνωται. Ἦσαν γὰρ ἔτι ἐπίφοβοι τοῖς γείτοσιν, ἄνδρες ὄντες φύσει ἐς λῃστείαν καὶ αἱματοχυσίαν κατάφοροι· καὶ ταπεινωθέντες, οὐκ ἦσαν ἐλπίδος ἀνυψώσεως ἄμοιροι, τοῦ ἀρχιβασιλέως αὐτῶν ἐν τοῖς πέραν τοῦ Βόλγα ἐῤῥωμένου ἔτι καὶ ἐν ἀκμῇ καὶ δυνάμει τυγχάνοντος. Ἀλλὰ γὰρ ἕτερος ἐχθρὸς, πολὺ δυνατώτερος, πολὺ τολμηρότερος, πολὺ ἐγχειρηματικώτερος, πολὺ δραστηριώτερος, πολὺ φρονιμώτερος καὶ ἐπιτηδειότερος, ἐκ τοῦ μυχοῦ τῆς Ἀσίας, ἐκ τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΤΟΚΑΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

μεγάλης Ταταρίας, ὡς παντοκλύςης καὶ ἀνυπόςατος χείμαῤῥος ἐκραγεὶς, κατεςρέψατο μετὰ πολλὲς ἄλλες, καὶ κεμάνες καὶ ῥύσες καὶ μοαγγυόρες, καὶ ὅσα ἐδεὶς πώποτε καταγωνιςὴς, καὶ τὴν οἰκεμένην πᾶσαν φόβε καὶ τρόμε ἐνέπλησεν.

Ουτος ἦν ὁ πολυθρύλλητος Τζιγγησχὰν, ὁ μείζων, ὧν ἡ ἱςορία μνείαν ποιεῖται κοσμοκαταγωνιςῶν. Τότε ἡ πρώτη ἐπὶ τὰ ὅπλα ὁρμὴ ἐ κατακτήσεως σκοπὸς ἢ μεγαλύνσεως ἢ λεηλασίας ἐτύγχανεν· ἀλλὰ τε πατρὸς αὐτῷ μικρε μονάρχε ἢ φυλάρχε ἀποθανόντος· πολιτεύεται γὰρ τὸ τῶν ταταρων ἔθνος κατὰ φυλαρχίας, ὥσπερ καὶ τὸ τῶν ἀράβων· καὶ τῶν γειτόνον περιφρονέντων τὸ ἀνήλικον αὐτε· τρισκαιδεκατέτης γὰρ τηνικαῦτα ἐτύγχανε· καὶ περὶ τὸ κληρονόμημα αὐτε ὀφθαλμιώντων, καὶ πολέμια φρονεῖν καὶ πράττειν ἀρξαμένων, ἀναγκασθεὶς, ἐπ' ἄμυναν ἐτράπετο, ἵνα τὴν πατρῴαν ἀρχὴν, ὡς ἕρμαιον ἤδη βλεπομένην, ἑαυτῷ διασώσας φυλάξειεν. Ουτω γεν, ἀπὸ μικρῶν ἀρχόμενος, ἐπὶ μεγάλα



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΔΙΕΥΘΥΝΣΗ ...
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

χωρήσας, ὥσπερ ὑπὸ ῥεύματος ὑπὸ τῶν περιςάσεων φερόμενος, μεγάλα ἤδη πρύτ-των, πολλὰ ἔθνη τῆς μεγάλης Ταταρίας καὶ τὸ βόρειον τῆς μεγάλης ἀρχῆς τῶν σι-ναίων κατεκτήσατο. ἐπιτρόπῳ δὲ ἐξακολε-θῶν τὸν μετὰ τῆς μεσημβρινῆς Σίνης πό-λεμον, ἐς τὸ Καρακορὰν τὴν νέαν πόλιν καὶ τῆς νεοσυςαθείσης μεγάλης ἀρχῆς μη-τρόπολιν ἦλθεν. Ενταῦθα μένειν βελό-μενος καὶ τὴν νέαν ἀρχὴν διαταγαῖς καὶ νόμοις, καὶ ἔσωθεν μὲν εὐταξίᾳ, ἔξωθεν δὲ φιλίᾳ ἐμπεδῦν καὶ κοσμεῖν ἐφιέμενος, Μεχμὲτ τῷ βασιλεῖ τῆς μεγάλης Μπεχα-ρίας, ἀκμαζέσης τὸ τηνικαῦτα διά τε ἐμ-πορίαν καὶ διὰ τὸν πλῦτον καὶ τὰς τέχνας, πρεσβείαν ἀπέςειλεν, ἐμπορικὰς σχέσεις συςῆσαι μετ' αὐτῦ προτεινόμενος· περι-φρονηθεὶς δὲ ὑπ' αὐτῦ, ἐπὶ δυνάμει καὶ πλύτῳ μάλα ὑπὲρ τὸ δέον μεγαλοφρονῦν-τος· ἦν γὰρ ὁ Μεχμὲτ τῶν καθ' ἑ ἐν τῇ δυτικῇ Ἀσίᾳ ὁ πρώτιςος· θυμῦ ἔμπλεως ἐπὶ τοσῦτον ἐγένετο, ὥςε καὶ δακρῦσαι καὶ τρεῖς ἡμέρας ἀσιτῆσαι, καὶ τὸ ξίφος σπά-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σάμενον ἐπειπεῖν, ὡς μὴ ἐμβάλω τοῦτο ἐς τὴν θήκην, πρὶν ἢ τὸν ὑβριστὴν τίσωμαι. Βαρυμηνιῶν γοῦν ἐπὶ τούτῳ, καὶ προτραπεὶς ἔτι, ὥς τινες θέλουσι, καὶ ὑπὸ τοῦ καλίφη, ἐπικίνδυνον μέν οἱ τὸν Μεχμὲτ ὁρῶντος (ἐπιβεβουλεύκει γὰρ αὐτῷ) μὴ προορῶντος δὲ, οἷον δεινὸν γείτονα αὐτῷ ἐπισπῷτο ὁ ἄθλιος (1), ἐξῆλθεν ἐκ τῆς μεγάλης Ταταρίας

(1) *Αὔξυσαν τὴν δύναμιν* τοῦ Μεχμὲτ ὁρῶν ὁ καλίφης, ἐποφθαλμιάζων, μειοῦν ἐκ παντὸς τρόπου ἐβούλετο καὶ διετείνετο· καὶ ὡς καλίφης, οἷ δῆθεν πρωτευόντως πάσας τὰς ἡγεμονίας ἀνηκούσας οἰόμενος, ἐπιστέλλει τῷ ἡγεμόνι τῆς Γάζνης, πόλεως ἐν τῷ ἀνατολικοβορείῳ τῆς Περσίας κειμένης, καθαιρῶν τὸν Μεχμὲτ, καὶ ἐκείνῳ τὴν ἡγεμονίαν αὐτοῦ βραβεύων. Νικήσας δ' ἔπειτα ὁ μπουχαρὸς, μᾶλλον δὲ ὁ χορασμηνὸς τὸν Γάζνης ἡγεμόνα, καὶ τὴν πόλιν Γάζναν ἑλὼν, καὶ τὰ γράμματα τοῦ καλίφη ἰδὼν ὀργῆς κατ' αὐτοῦ ἐμπίπλαται, καὶ ἀποτρέπει κατ' αὐτου τὴν καθαίρεσιν, καὶ ἅρπαγα αὐτὸν τῆς καλιφείας ἑτέροις νομίμως ἀνηκούσης, τοῖς ἀλῆΐδαις, ἀναδείκνυσι, καὶ ὅπλοις ἐπικυροῦν τὰ ἀναδεικνύμενα βουλόμενος, πολυαρίθμῳ στρατῷ ἐλαύνει ἐπὶ τὸν τῆς καλιφείας ἅρπαγα, ἀλλὰ διὰ μέγαν καὶ ἀσυνήθη χειμῶνα ἐμποδισθεὶς, ἐς τὸν ἕτερον ἐνιαυτὸν τὴν καθαίρεσιν ὑπερτίθησι, καθ' ὃν κωλύεται πάλιν, τῶν μογγούλων ἐφ' ὃ ἤδη ἐλαύνειν μελλόντων, οἵπερ Μπουχαρίαν καὶ Περσίαν δι' ὀλίγου καταστρεψάμενοι, οὐδ'

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

μετὰ ἑβδομήκοντα μυριάδων μαχίμων ἀνδρῶν, περὶ τὸν δέκατον ἔννατον ἐνιαυτὸν τῆς δεκάτης τρίτης ἑκατονταετηρίδος, καὶ μικρὰν καὶ μεγάλην Μπουχαρίαν κατεπλημμύρησε.

## Μεγίςη μάχη.

Παραγενόμενος οὖν ἐν Μπουχαρίᾳ ὁ Τζιγγησχὰν, αὐτίκα τῷ ἀλαζόνι Μεχμὲτ ἀντιπαρατάξαντι οἱ τεσσαράκοντα μυριάδας, συῤῥήγνυνται καὶ συμπλέκεται καὶ ὅλην ἡμέραν μάχεται. Τῇ δ' ὑςεραίᾳ τῆς

αὐτοῦ του καλίφη ἐφείσαντο ἔπειτα, καὶ τὸ Μπαγδὰτ ἑλόντες, ὅπου καὶ ἐν τοῖς πέριξ ὑπὲρ τὰς ἑκατὸν μυριάδας κατοίκους κατέκτειναν, τὸν συβαρίτην καλίφην βοΐνῳ δέρματι ἐμπεριῤῥάψαντες, ἐν τοῖς ὁδοῖς τῆς αὐτοῦ μητροπόλεως σύρδην περιαγαγόντες, οὕτως αἰσχίςως θανεῖν αὐτὸν τὸν θεοποιούμενον καὶ κεκαλυμμένον ἐξερχόμενον τῶν βασιλείων, ἐπὶ τῷ μὴ βλέπεσθαι ὑπὸ τοῦ λαοῦ ὡς δῆθεν ἀναξίου ὄντος, ἐποίησαν. Ὁρᾷς φίλε οἷα πάσχουσιν οἱ συβαρῖται; Ὁρᾷς εἰς οἷα τέλος ἡ περισπούδαςος τρυφὴ καταντᾷ τὸν ταλαίπωρον ἄνθρωπον; Οἶσθα τὴν αἰτίαν δι' ἣν τὸ δεινὸν ἀπροόρατον; Ἡ τρυφὴ πάσης προορατικῆς αἰσθήσεως ςερεῖ τὸν ταλαίπωρον ἄνθρωπον, ἐξορύττουσα τὰ τῆς ψυχῆς ὄμματα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μεγάλης ταύτησι καὶ τῷ ὄντι μυριονέκρου μάχης, ἰδὼν ὁ Μεχμὲτ τὴν στρατιὰν αὐτοῦ ἐξ ἡμισείας σχεδὸν μειωθεῖσαν, ἐς φυγὴν τρέπεται, καί περ ὑπὸ τοῦ ἀνδρείου αὐτῷ υἱοῦ τοῦ Ζελελαδὶν ἀποτρεπόμενος, καὶ ἐν νησίῳ τῆς Κασπίας ἀπόλλυται. Ὁ δὲ μογγοῦλος ὑποτάξας ἐν ὀλίγῳ τὴν Μπουχαρίαν, καὶ ἐν Μπουχάρᾳ μεγάλῃ καὶ ὀλβίᾳ πόλει γενόμενος, καὶ οἰκοδομὴν μεγάλην καὶ μεγαλοπρεπῆ θεασάμενος, καὶ πυθόμενος ὅτι ναὸς θεοῦ εἴη αὐτὸς, ἐπιμειδιάσας τῷ λόγῳ, καὶ εἰσελθὼν ἔφιππος, καὶ ἀναβὰς ἐφ' ὑψηλοῦ τόπου, τὸ μὲν κοράνιον ἐν τοῖς ποσὶ τοῦ ἵππου κατέῤῥιψεν, αὐτὸς δὲ, πολλὰ μὲν κατὰ τῆς ἀπιστίας καὶ δολιότητος τοῦ Μεχμὲτ κατηρεύξατο, πολλὰ δὲ καὶ τὴν αὐτοῦ πίστιν ἐπῇρε καὶ εἰλικρίνειαν. Χρόνῳ δ' ὕστερον τὰ τῶν μωαμεθανῶν δόγματα περιεργότερον μαθεῖν βουλόμενος, καὶ ἀκούσας ὅτι ἕκαστον μωαμεθανὸν ἀπαραιτήτως δέοι, κἂν ἅπαξ ἐπὶ ζωῆς, ἐς Μέκαν πορεύεσθαι, τὸν ἐκεῖ ἐξ ἐπιταγῆς τοῦ θεοῦ κτισθέντα ναὸν προσκυνήσοντα, ἀλλ' ἡ γῆ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

πᾶσα, ἔφη, ἐχ ὁ τῷ ὄντι ναὸς Θεῦ τυγχάνει;

Ἤδη δὲ ἔχων ὑφ' ἑαυτὸν μικρὰν καὶ μεγάλην Μπυχαρίαν, αὐτὸς μὲν ἐπὶ μέσην ἡμέραν τρέπεται· Τυσσῆν δὲ τὸν πρῶτον υἱὸν αὐτῦ μετὰ δυνάμεως μεγάλης ἐπὶ τὸν ἀρχιβασιλέα τῶν κυμάνων σύμμαχον τῷ Μεχμὲτ γεγονότα, ἀπέςειλεν. Εισβαλὼν δ' ὁ Τυσσῆς ἐς τὸ βόρειον ἐν δεξιᾷ ἔχων τὴν Κασπίαν θάλασσαν, καὶ ἀλανὺς καὶ ἑώυς μοαγγυόρυς δόλῳ καὶ βίᾳ καταςρεψάμενος, καὶ ἤδη πλησιάσας κυμάνοις, συμμάχυς καθ' ὃ ἔχυσι ῥώσσυς, πρεσβείαν ἀποςέλλει τοῖς ῥώσσοις, ἀποσπάσασθαι τύτυς τῶν κυμάνων πειρώμενος, πέπραχε δὲ ὐδέν· ἤδη γὰρ καὶ οἱ ῥῶσσοι τὴν τῶν μογγύλων μεμαθήκεσαν δολιότητα, οἵπερ ὑποσχέσεσι μεγάλαις διαλύειν ἐπειρῶντο τὰς ἐπὶ σφᾶς συμμαχίας, τελῦντες δ' ἔπειτα τὸ σκοπύμενον, τῶν σφετέρων λόγων ὐδένα ἐποιῦντο λόγον, ὥςπερ εἰ ὅλως ἐπελανθάνοντο. Ὁρμῶσι γῦν οἱ ῥῶσσοι μετὰ κυμάνων ἐπὶ τὺς μογγύλυς, τύτοις μαχεσόμενοι,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ μάχης ἰσχυρᾶς γενομένης παρὰ τὸν Κάλκαν ῥύακα, τὸν ἐξ ἀριστερῶν τῷ Ταναΐσκῳ ὑ πόῤῥω Τανάϊδος ἐκδιδόντα, περὶ τὸν εἰκοστὸν δεύτερον ἐνιαυτὸν τῆς δεκάτης τρίτης ἑκατονταετηρίδος, ἡττῶνται κατὰ κράτος· ἦσαν δὲ οἱ μαχεσάμενοι ῥῶσοι καὶ κομάνοι περὶ τὰς ἑξκαίδεκα μυριάδας· οἱ δὲ μογγῦλοι περὶ τὰς εἴκοσι μυριάδας. Ὁ δὲ μέγας δὺξ Ιεροσλαβὶς μετὰ τεσσαράκοντα χιλιάδων στρατῦ διὰ ζηλοτυπίαν· ὁ γὰρ ἦν ἀρχιστράτηγος· θεατὴς μόνον τῆς μάχης γενόμενος, καὶ δόλῳ ἔπειτα τῶν ὅπλων γυμνωθεὶς, σύστρατος κατεσφάγη ὑπὸ τῶν μογγύλων. Οὕτω μὲν ἂν ὑπερτερήσαντες παρὰ τὸν Κάλκαν οἱ μογγῦλοι, φόβυ βοῤῥᾶν καὶ δύσιν ἐνέπλησαν. Μετὰ δὲ ταῦτα τίσασθαι τάχα τὺς ῥώσσυς βυλόμενοι, ἐπέδραμον τὴν χώραν αὐτῶν διὰ μέσυ, καὶ ἐπὶ πολὺ πρὸς τὸ βόρειον ἵκοντο, πᾶν τὸ ὑπαντώμενον ἐμπιπράντες, φθείροντες, κτείνοντες, ἁρπάζοντες, μηδεμιᾶς φειδόμενοι ἡλικίας, καὶ ἐς τὰ πλησιόχωρα τῦ Καυκάσυ ὑπέστρεψαν.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ταῦτα ἐν τῇ ἑῴᾳ Κεμανίᾳ γενόμενα, διετάραξαν καὶ ἐξέπληξαν ὅλως τὴν δυτικὴν Κεμανίαν, καὶ οἱ κάτοικοι αὐτῆς, τοὺς μογγέλους κατοῤῥοδοῦντες, σφίσιν ἐπιπίπτοντας ἐφαντάζοντο· χαρὰ γὰρ καὶ λύπη, ἐλπὶς καὶ φόβος ἐς μέγαν βαθμὸν ἱκόμενα, καὶ ἐς βάθος ἐσδύντα τῆς ψυχῆς, δραστικωτάτην ποιοῦσι τὴν φαντασίαν, καὶ τὰ ἐννοούμενα μόνον, λανθάνοντα, ὥσπερ πράγματα πρὸ ὀφθαλμῶν ἐντυποῦνται, καὶ ζωγραφούμενα ἐν τῷ ἀέρι παρίσταται· καὶ ἐννοούμενα μόνον τυγχάνοντα. Ὁ ὀπαδὸς τοῦ Οδὶν, ἐν τῇ παλαιᾷ Σκανδιναβίᾳ, διαμπερὲς τῇ μαχαίρᾳ πληττόμενος, ἡρωϊκῷ θανάτῳ τὸ ζῆν κατέλειπε, σύντομον ὁδὸν πρὸς τὸν ἐν τῷ βαλχαλλᾷ (οὕτως ὠνομάζετο ὁ παράδεισος, ἐς ὃν μόνοι οἱ ἀνδρεῖοι ἐπορεύοντο μετὰ θάνατον.) κρείττω βίον τοῦτο ἡγούμενος. Οιει ἂν τοῦτον αὐτὸ ποιῆσαι, τὰ ἀρχεῖα τοῦ Οδὶν ἠνεῳγότα πρὸ αὐτοῦ μὴ ὁρῶντα, ὡς οἱ πληττόμενοι πρὸ τῆς πληγῆς ἀνέκραζον; Σκέπτου, φίλε, καὶ μάνθανε πραγμάτων διαστέλλειν φαντάσματα.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Περὶ τὰς δέκα τοίνυν χιλιάδας κεμάνοι καταλιμπάνεσι τὴν Ρεμενίαν, καὶ περαιῦνται τὸν Ἴςρον, καὶ κωλύοντας τὲς βεργάρες τρέπεσι, καὶ ζῶσιν ἀπὸ λῃςείας, ἄχρις ὃ ὁ αὐτοκράτωρ Ἰωάννης τῷ τῶν κωνςαντινεπολιτῶν ςρατῷ διεμοίρασεν. Ἕτεροι δὲ πάλιν τῷ τῶν λατίνων προσχωρῦσι δόγματι, περὶ τὸν εἰκοςὸν ἕβδομον ἐνιαυτὸν τῆς δεκάτης τρίτης ἑκατονταετηρίδος, ἀρωγὴν ἐκεῖθεν ἐλπίζοντες, καὶ ἐπίσκοπος αὐτοῖς, ἀμέσως ὑπὸ τῷ πάππα ἐξηρτημένος, ἀποςέλλεται, καὶ πλῆθος κεμάνων μολδαβικῶν εἰς τὸ δόγμα τε πάππα βαπτίζεται, ὡς λέγεσιν, ἡμᾶς δὲ ἐ πάντοι πειθομένες ἔχεσι τοιαῦτα λέγοντες· ὅπε γὰρ περὶ τῶν προφανῶν ψευδόμενοι ἐλέγχονται, σχολῇγε ἂν περὶ τῶν ἄλλων ἀληθεύσειαν. Ὁ δὲ ἐπίσκοπος, τῶν μέχρις Ἰαΐκ καὶ ἐπέκεινα ἐνομίζετο, ἦγεν παντὸς τε τόπε τῶν κεμάνων, καὶ ὡς ἴδιον κτῆμα γήδιον παρὰ τὸν ποταμὸν Σιρέτην ἐκέκτητο. Ἔοικε δὲ μεγίςης χώρας ἐπίσκοπος ὢν, μικροτάτε πάντη ποιμνίε ποιμὴν εἶναι· ὃ γὰρ ἂν ἄλ-

λως περιφρονήσεις τοσαύτας καὶ ἀντιςάσεις ὑπέςη, ὡς ἀσελγὴς καὶ ταραχοποιὸς καὶ τὲς τῆς ξενίας νόμες παραβαίνων, ὑπό τε τῶν αὐτοχθόνων ῥεμάνων, τῶν τῷ ἀνατολικῷ δόγματι ἄνωθεν ἐκ παλαιῦ, ἀναποσπάςως προσκειμένων, καὶ ὑπὸ τῶν ἑβραίων καὶ μωαμεθανῶν, δηλονότι τῶν χαζάρων, καὶ ὑπὸ τῶν κεμάνων.

Ησαν μὲν ἔν σποράδην τῦ λατινικῦ δόγματος κεμάνοι, ὥσπερ καὶ τὰ νῦν βλέπομεν τὲς λεγομένες μοαγγυόρες, ἐπισκόπων δὲ καὶ ἱερέων ἠμαίρεν· οἱ δὲ τῦ παλαιῦ δόγματος ἀμφοῖν ηὐπόρεν, καὶ κεμάνοι λατῖνοι καὶ ἐθνικοὶ τὸ δόγμα αὐτῶν ἐνηγκαλίζοντο· ὃ μὴν ἀλλὰ καὶ πολλοὶ μοαγγυάροι καὶ σάξοι, ἔκ τε τῦ τεμεςβαρικῦ Μπανὰτ καὶ Αρδὲλ μετοικῦντες ἐς τὸν Ρεμανικὸν ἀγρὸν καὶ ἐς τὴν Μολδόβαν, τὸ αὐτὸ ἔπραττον, καὶ τὸν πάππαν λυσσᾶν ὅτως ἐποίεν, τὸν ὃ τὲς ὀπαδὲς τῦ Χριςῦ αὐξῆσαι προθυμέμενον, ἀλλ' ὑπηκόες ἑαυτῷ ποιεῖν ἐφιέμενον, καὶ τὴν παππικὴν ἀρχὴν ἐκτείνειν πανταχῆ διατεινόμενον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΝ ΝΕΟΕΛΛΗΝΙΚΟ ΦΙΛΟΣΟΦΙΑ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

*Ἀποςέλλει γοῦν περὶ τούτου ἐς Μοαγγυορίαν, καὶ ὁ ἀπεςαλμένος πείθει τὸν διάδοχον Βήλαν, τούς τε μωαμεθανοὺς καὶ Ἰουδαίους χαζάρους καὶ κουμάνους, καὶ πάντας τοὺς ἀνατολικούς, οὓς σχισματικοὺς ὁ τῷ ὄντι ἀπεσχισμένος τῆς παλαιᾶς ἐκκλησίας, ὠνόμαζεν, ἐς τὸ τοῦ πάππα δόγμα βιάσασθαι, καὶ ὑπέσχετο ὅρκῳ ὁ διάδοχος. Ἀλλὰ γάρ, ἀναχωρήσαντος τοῦ παπικοῦ ἀπεςαλμένου, ὁ Βήλας μικρὰ ὑποσχέσεων ἐφρόντιζε, καί περ ὁ πολὺ ὕςερον βασιλεύσας καὶ ἐκςρατεύειν ἐπὶ τούτῳ δυνάμενος. Ἐν τούτῳ τῷ χρόνῳ προσδιορίσαι τις ἔχει καὶ ςῆσαι τὴν ἀρχὴν τῶν σωζομένων μέχρι τοῦ νῦν ἐν τῷ Ρουμουνικῷ ἀγρῷ καὶ ἐν τῇ Μολδόβῃ Μοαγγυόρων ἢ τζέκλερ· πολλοὶ δὲ καὶ ἄλλοι κουμάνων, τατάρων καὶ βοεβόδων, αἰχμάλωτοι, τινὲς δὲ καὶ ἐν τῷ ἐμφυλίῳ πολέμῳ τοῦ Ἀρδὲλ, ἱδρύθησαν ἐνταῦθα· καὶ μέχρι τοῦ νῦν ἔτι τζέκλερ μετοικοῦσι διὰ τὸ εὐρυχωρότερον.*

*Τὰ μὲν οὖν τῆς Ρουμουνίας, τόγε νῦν ἔχον, ἥσυχά πως ἦν καὶ ἀθόρυβα, καὶ τῶν*

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

μογγύλων οἱ οἰκήτορες ἐπιλανθάνεσθαι ἤρχοντο καὶ ἐκπλαγεῖς καὶ περιδεεῖς εἶναι, ἤδη παύεσθαι ἤρχοντο· ὅ, τε βασιλεὺς τῶν κυμάνων ἐν τῇ ἑῴᾳ ὑπὲρ Βόλγαν Κυμανίᾳ ἐσώζετο, ἱκανὴν ἀντίςασιν τοῖς ἐχθροῖς ποιησάμενος. Ἀλλὰ γὰρ Οκταῆς ὁ μέγας χάνης τῶν μογγύλων, εἰρήνην μετὰ τῶν μεσημβρινῶν σιναίων ποιήσας, ὡς ὅδεὶς ἕτερος πώποτε, ἑκατὸν πεντήκοντα μυριάδας ἀνδρῶν μαχίμων ἐςρατολόγησεν, ἵνα τὰ ὑπόλοιπα μέρη τῆς οἰκυμένης, ἑῷά τε καὶ δυτικὰ, βόρειά τε καὶ μεσημβρινὰ ὑπήκοα ποιήσαιτο. Ουτω τοίνυν, ὡς ὁ σοφὸς Δεγγίνης παρατηρεῖ, τῆς Σίνης πρὸς ὥραν ἠρεμέσης, ὁ μέγιςος κλύδων πολιτικὸς, τῷ δυτικῷ τῆς οἰκυμένης ἐκραγήσεσθαι ἔμελλε.

Τῷ Τζιγγησχὰν παῖδες γίνονται, ἐκ τῆς μογγύλης αὐτῷ γυναικὸς, τέσσαρες, Τυσσῆς, Οκταῆς, Τζιαγατάης καὶ Τυλλῆς. Αποθνήσκειν δὲ μέλλων, Τυσσῆ ὑ πρὸ πολλῦ μετηλλαχότος τὸν βίον ἤδη, καὶ τὸν θάνατον τῦ πατρὸς ποθῦντος ἄγαν, ἐπι-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ταχύνωντος, διατάττει τὸν μέγαν χάνην ἐκ τῶν τεσσάρων ὁμομητρίων καὶ ἐκ τῶν ἀπογόνων αὐτοῖς ψηφίζεσθαι, ἐκτὸς τȣ̃ μεθ' ȣ̃ χάνη. Διαταγὴ αὕτη φρόνησιν καὶ σύνεσιν πολιτικὴν δεικνύȣσα· οἱ γὰρ ἑτερομήτριοι, ἑτερογνώμονες, ἑτερόῤῥεπεῖς καὶ ςασιώδεις, ὡς ἐπὶ τὸ πλεῖςον, τυγχάνȣσιν. Αποκληροῖ γȣ̃ν τῆς ἀνωτάτω ἀρχῆς τȣ̀ς ἐξ ἑτέρων οἱ γεγενημένȣς παῖδας, καὶ ἀποθνήσκων Οκταῆν ἀνεῖπεν αὐτȣ̃ διάδοχον.

## Μ π α τ ȣ̃.

Τριάκοντα μυριάδας ἐκ τȣ́τȣ τȣ̃ ςρατολογηθέντος νέȣ ςρατȣ̃, ἄγει ὁ περίφημος Μπατȣ̃ χάνης, ἐν ἀριςερᾷ ἔχων τὴν Κασπίαν, ἐπὶ τὸ Καπσχάτκ, ὅ ἐςιν ἐπὶ τὴν Κȣμανίαν, καὶ νικᾷ κατὰ κράτος Κȣθὲν τὸν ἀρχιβασιλέα τῶν κȣμάνων, καὶ πᾶσαν ἀναλήψεως αὐτὸν ἀφαιρεῖται ἐλπίδα. Απογνȣ̀ς δὲ παντάπασι τῶν ὅλων ὁ Κȣθὲν, ἐς Μοαγγυαρίαν μετὰ πεντήκοντα χιλιάδων οἰκαρχιῶν, ἢ μᾶλλον σκηναρχιῶν, διασώ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΤΗΣ ... ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΤΟΚΗΣ
Ε.Υ. Δάπης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006